Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: ivg-aa

*Βάτων ὁ κωμικός* · Bato the Comic Poet

# Fragments on Hedonism and Philosophy

*Ἀποσπάσματα περὶ Ἡδονῆς καὶ Φιλοσοφίας*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Ἀττική* Attic (com, frg)
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

book 1 ἄνθρωπος ὢν ἔπταικας· ἐν δὲ τῷ βίῳ τέρας ἐστὶν εἴ τις ηὐτύχηκε διὰ βίου.

book 2.1 τῶν

book 2.2 φιλοσόφων

book 2.3 τοὺς σώφρονας ἐνταυθοῖ καλῶ, τοὺς ἀγαθὸν αὑτοῖς οὐ διδόντας οὐδὲ ἕν, τοὺς τὸν

book 2.4 φρόνιμον ζητοῦντας ἐν

book 2.5 τοῖς

book 2.6 περιπάτοις καὶ ταῖς διατριβαῖς ὥσπερ ἀποδεδρακότα.[ln_5]ἄνθρωπ’ ἀλάστωρ, διὰ τί συμβολὰς ἔχων νήφεις; τί τηλικοῦτον ἀδικεῖς

book 2.7 τοὺς θεούς; τί τἀργύριον, ἄνθρωπε, τιμιώτερον

book 2.8 σαυτοῦ τέθεικας ἢ πέφυκε τῇ φύσει; ἀλυσιτελὴς εἶ τῇ πόλει πίνων ὕδωρ·

book 2.1 [ln_10]τὸν γὰρ γεωργὸν καὶ τὸν ἔμπορον κακοῖς. ἐγὼ δὲ τὰς

book 2.2 προσόδους μεθύων καλὰς

book 2.3 ποιῶ. ἔπειθ’ ἕωθεν

book 2.4 περιάγεις τὴν λήκυθον, καταμανθάνων

book 2.5 τοὔλαιον, ὥστε

book 2.6 περιφέρειν ὡρολόγιον δόξεις

book 2.7 τι, οὐχὶ λήκυθον.

book 3.1 ἐξὸν γυναῖκ’ ἔχοντα κατακεῖσθαι καλὴν καὶ Λεσβίου

book 3.2 χυτρῖδε λαμβάνειν δύο· ὁ φρόνιμός ἐστι

book 3.3 τοῦτο, τοῦτο τἀγαθόν. Ἐπίκουρος ἔλεγε

book 3.4 ταῦθ’ ἃ νῦν ἐγὼ λέγω.[ln_5]εἰ τοῦτον ἔζων πάντες ὃν ἐγὼ ζῶ βίον, οὔτ’ ἄτοπος ἦν ἂν οὔτε μοιχὸς οὐδὲ εἷς.

book 4.1 εὖ γ’, ὦ Σιβύνη, τὰς νύκτας οὐ καθεύδομεν, οὐδ’ ἀνατετράμμεθ’, ἀλλὰ κάεται λύχνος, καὶ βυβλίον ἐν

book 4.2 ταῖς

book 4.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χερσί, καὶ φροντίζομεν τί Σόφων καταλέλοιπ’ ἢ τί Σημωνακτίδης

book 4 [spk_β]ὁ Χῖος, ἢ Τυνδάριχος ὁ Σικυώνιος, ἢ Ζωπυρῖνος. Β. αὐτὸς εὕρηκας δὲ τί;

book 4.1 [spk_α]Α. τὰ μέγιστα. Β. ποῖα

book 4.2 ταῦτα; Α. τοὺς

book 4.3 τεθνηκότας—

book 5.1 ἀπολώλεκας τὸ μειράκιόν μου

book 5.2 παραλαβών, ἀκάθαρτε, καὶ πέπεικας ἐλθεῖν εἰς βίον ἀλλότριον αὑτοῦ, καὶ πότους ἑωθινοὺς πίνει διὰ σὲ νῦν, πρότερον οὐκ εἰθισμένος.

book 5.1 [spk_β]Β. εἶτ’ εἰ μεμάθηκε, δέσποτα, ζῆν, ἐγκαλεῖς; Α. ζῆν δ’ ἐστὶ τὸ τοιοῦθ’; Β. ὡς λέγουσί γ’ οἱ σοφοί. ὁ γοῦν Ἐπίκουρός

book 5.2 φησιν εἶναι τἀγαθὸν τὴν ἡδονὴν δήπουθεν· οὐκ ἔστιν δ’ ἔχειν

book 5.3 ταύτην ἑτέρωθεν, ἐκ δὲ τοῦ ζῆν

book 5.4 παγκάλως

book 5.1 [spk_α]ἴσως ἅπαντας εὐτυχεῖν δώσεις ἐμοί. Α. ἑόρακας οὖν

book 5.2 φιλόσοφον, εἰπέ μοι, τινὰ μεθύοντ’ ἐπὶ τούτοις θ’ οἷς λέγεις ζηλούμενον; Β. ἅπαντας· οἱ γοῦν τὰς ὀφρῦς ἐπηρκότες καὶ τὸν

book 5.3 φρόνιμον ζητοῦντες ἐν

book 5.4 τοῖς

book 5.5 περιπάτοις καὶ ταῖς διατριβαῖς ὥσπερ ἀποδεδρακότα, οὕτως, ἐπὰν γλαυκίσκος αὐτοῖς

book 5.6 παρατεθῇ, ἴσασιν οὗ δεῖ πρῶτον ἅψασθαι τόπου καὶ τὴν κεφαλὴν ζητοῦσιν ὥσπερ

book 5.7 πράγματος, ὥστ’ ἐκπεπλῆχθαι πάντας.

book 7.1 πολλῶν

book 7.2 σφόδρ’ ὄντων χἀτέρων ἐν τῷ βίῳ ἐφ’ οἷς ἅπαντες εἰκότως θορυβούμεθα, μάλιστ’ ἐμοὶ δήπουθε κινοῦσιν

book 7.3 χολὴν οἱ τῶν

book 7.4 τρόπων φάσκοντες ἐπιεικῶς ἐρᾶν καὶ λανθάνειν δοκοῦντες, ὅτι

book 7.5 πεπλασμένως τὸ πρᾶγμα

book 7.6 περιπέττουσι κοὐκ ἀληθινῶς. τίνα γὰρ ἔχει, πρὸς τῆς Ἀθηνᾶς, διαφορὰν ὁ τῶν νεωτέρων

book 7.7 τε καὶ λείων

book 7.8 τρόπος

book 7.9 παρ’ ὃν οἱ δασεῖς ἔχουσι καὶ προβεβηκότες;

Eulogikon public reading copy · View original HTML at eulogikon.org